**ἄτακτος**

**1.** Hephaest. 54. 19 sqq. τὸ μὲν οὖν καθαρὸν κρατίνειον τοιοῦτόν ἐστι· πολυσχημάτιστον δὲ αὐτὸ πεποιήκασιν οἱ κωμικοί ... 24 sqq. Εὔπολις δὲ ἐν τοῖς Ἀστρατεύτοις καὶ ἀτακτοτάτως συνέθηκε τὸ εἶδος· πῇ μὲν γὰρ τοιαῦτα ποιεῖ· (fr. 42. 1 sq. [PCG V, p. 318] Kassel-Austin)

ἄνδρες ἑταῖροι, δεῦρ᾽ ἤδη τὴν γνώμην προσίσχετε,
εἰ δυνατόν, καὶ μή τι μεῖζον πράττουσα τυγχάνει,

πῇ δὲ τοιαῦτα· (fr. 42. 3 sq. [PCG V, p. 318] Kassel-Austin)

καὶ ξυνεγιγνόμην ἀεὶ τοῖς ἀγαθοῖς φάγροισιν,

ὥσθ᾽ ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον ἀνακρεοντείῳ τῷδε· (fr. 41 [PMG 386] Page)

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ᾽ ἔχοντα καλήν,

πῇ δὲ καὶ ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι.

Choerob. 238. 1 sqq. ἰστέον δ᾽ ὅτι παρέλειψέ τινα τοῦ ἀντισπαστικοῦ μέτρου ὁ τεχνικός· ἀλλὰ δεῖ λέγειν, ὡς πολλοὶ τῶν ἄλλων μετρικῶν φασιν, ὅτι δέχεται τὸν πρῶτον πόδα ἀντίσπαστον ἢ ἐπίτριτον τέταρτον, τουτέστιν ἐκ τριῶν μακρῶν καὶ μιᾶς βραχεῖας, ἢ παιῶνα δεύτερον, τουτέστιν ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, ἢ διτρόχαιον ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, τὰς δὲ μέσας ἀντισπαστικὰς καὶ ἰαμβικάς, τὴν δὲ τελευταίαν ὅτε ἐστὶν ἀκατάληκτον ἰαμβικήν, ὅτε δὲ καταληκτικὸν *** καὶ ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαις. τρέπεται δὲ ὁ πρῶτος ποὺς ἔστιν ὅτε, ὥς φησιν, εἰς τὰ τέσσαρα σχήματα τοῦ δισυλλάβου, οἱονεὶ πυρρίχιον καὶ σπονδεῖον καὶ ἴαμβον καὶ τροχαῖον· καθόλου γὰρ ἄλογός ἐστιν ὁ πρῶτος ποὺς καὶ ἄτακτος. ἔστι δ᾽ ὅτε αὐτὸς ὁ πρῶτος ποὺς σπονδεῖος ὢν δυνάμει λύεται εἰς δάκτυλον, τῆς δευτέρας συλλαβῆς τοῦ σπονδείου διαλυομένης εἰς δύο βραχείας, ἢ ἐκ τοῦ ἐναντίου εἰς ἀνάπαιστον, τῆς πρώτης συλλαβῆς πάλιν διαλυομένης· ὁ δὲ τροχαῖος καὶ ὁ ἴαμβος εἰς τρίβραχυν, τῆς μακρᾶς πάλιν εἰς δύο βραχείας διαλυομένης· ὁ γὰρ πυρρίχιος ἐκ δύο βραχειῶν συγκείμενος οὐκ εἶχεν εἰς τί διαλύεσθαι.

Schol. vet. in Pind. *Ol.* 9 (p. 8. 15 Tessier) τὸ ιε′ ἐπιωνικὸν ἄτακτον, β′ σπονδεῖον ἔχον.

Schol. rec. in Pind. *Ol.* 9 (p. 311. 8 sqq. Abel) τὸ ιε′ ἐπιωνικὸν δίμετρον ἀκατάληκτον· καλοῦσι δὲ τοῦτο ἄτακτον διὰ τὸ μὴ ἔχειν τὴν α′ συζυγίαν τροχαικὴν ἀλλὰ ἰαμβικὴν καὶ μὴ ἐν τῇ α′ χώρᾳ τὸν σπονδεῖον ἀλλ᾽ ἐν τῇ β′.

Schol. vet. in Pind. *Ol.* 13 (p. 11. 13 sqq. Tessier) τὸ γ′ ἴαμβος τρίμετρος βραχυκατάληκτος. ὁ β′ ποὺς ἁπανταχοῦ τρίβραχυς, ὁ δ′ ἄτακτος· σπονδεῖος γὰρ εὑρίσκεται παρὰ τοῖς μελοποιοῖς.

Schol. vet. in Pind. *Ol.* 13 (p. 12. 7 sqq. Tessier) τὸ θ′ ἐπιωνικὸν ἄτακτον· ὁ γὰρ β′ σπονδεῖός ἐστιν· εἶτα ἥμισυ συζυγίας. γίνεται δὲ ἐν τοῖς ἐπιωνικοῖς ἡ ἀταξία, ὡς ἐν τῷ· (Eupol. 316. 1 [PCG V, p. 481] Kassel-Austin)

ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.

Schol. rec. in Pind. *Ol.* 13 (p. 383. 12 sqq. Abel) τὸ γ′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ β′ ποδὸς χορείου τριβράχεος, τοῦ δὲ δ′ σπονδείου, ὃν καὶ ἀτάκτως παρὰ τοῖς μελοποιοῖς φασι κεῖσθαι. ἐμοὶ δ᾽ ἐπιωνικὸν δοκεῖ εἶναι

ἀπ᾽ ἐλάσσονος τρίμετρον καταληκτικόν, ἐκ παίωνος β′, ἰωνικοῦ καὶ τροχαικῆς συζυγίας καταληκτικῆς.

Schol. rec. in Pind. *Ol.* 13 (p. 385. 2 sqq. Abel) τὸ θ′ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. ἔστι δέ, ὥς φασιν, ἀταξία ἐν αὐτῷ· ἡ γὰρ β′ συζυγία ἰαμβικὴ οὖσα ἐν τῇ β′ χώρᾳ σπονδεῖον ἔχει ἀτάκτως· διὸ καὶ ἐπιλαμβάνονται αὐτοῦ. ὡς καὶ τὸ παρ᾽ Εὐπόλιδι ἐπιωνικὸν ἐν τῷ Χρυσῷ γένει τό· (fr. 316. 1 [PCG V, p. 481] Kassel-Austin)

ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.

Schol. vet. in Pind. *Ol.* 14 (13. 6 sq. Tessier) τὸ ις′ ἐξ ἰωνικῆς βάσεως ἀπ᾽ ἐλάσσονος καὶ ἰαμβικοῦ ἡμιολίου ἀτάκτου.

Schol. vet. in Pind. *Pyth.* 10 (28. 18 Tessier) τὸ β′ δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον, ἄτακτον.

Schol. vet. in Pind. *Nem.* 8 (26. 10 sqq. Tessier) τὸ δ′ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ταῖς ἐναντίαις κατακλεισθέν, ἄτακτον ἀλκμανικῷ ζήλῳ.

Schol. vet. in Pind. *Nem.* 10 (27. 15 sq. Tessier) τὸ ι′ ἄτακτον ἰαμβικὸν ἑφθημιμερὲς διὰ τὸν β′ σπονδεῖον.

Schol. in Aristoph. *av.* 959. 1 sqq. (p. 150 Holwerda) στίχων λγ′. ὧν οἱ πρῶτοι η′ ἰαμβικοὶ τρίμετροι, οἱ ἑξῆς δύο ἀσυνάρτητοι παντελῶς καὶ πολυσχημάτιστοι, ἀτάκτως τοὺς πόδας κειμένους ἔχοντες. μιμεῖται γὰρ τὸ ἀσυνάρτητον τῶν χρησμῶν.

Schol. in Aristoph. *eq.* 941a (p. 216. 19 sqq. Jones-Wilson) vet (ad v. 941 sq.) εὖ γε νὴ τὸν Δία] διπλῆ καὶ τοῦ χοροῦ <περίοδος> δίκωλος ἐν ἐπεισθέσει, ὧν τὸ πρῶτον ἐκ τροχαϊκῆς βάσεως καὶ ἀναπαιστικῆς, καὶ ἑφθημιμερὲς ἢ ἰωνικόν, ἀπὸ μὲν τριμέτρου καταληκτικόν. ἀτακτότερον δὲ ἔχει τὴν τροχαϊκὴν βάσιν ἑπτάσημον. τὸ δὲ δεύτερον πενθημιμερὲς κοινὸν δακτυλικὸν καὶ ἀναπαιστικόν. ἐπίτηδες δὲ διαλελυμένως μιμούμενος τὸν πεζὸν λόγον.

**2.** Arist. Qvint. *de mus.* I 13 (p. 31. 21 sq. Winnington-Ingram) ῥυθμίζεται δὲ ἐν μουσικῇ κίνησις σώματος, μελῳδία, λέξις … (24 sqq.) μέλος μὲν γὰρ νοεῖται καθ᾽ αὑτὸ μὲν <ἐν> τοῖς διαγράμμασι καὶ ταῖς ἀτάκτοις μελῳδίαις, μετὰ δὲ ῥυθμοῦ μόνου, ὡς ἐπὶ τῶν κρουμάτων καὶ κώλων, μετὰ δὲ λέξεως μόνης ἐπὶ τῶν καλουμένων κεχυμένων ᾀσμάτων.

Arist. Qvint. *de mus.* I 14 (p. 32. 30 sq. Winnington-Ingram) τούτων δὴ τῶν χρόνων οἱ μὲν ἔρρυθμοι λέγονται, οἱ δὲ ἄρρυθμοι, οἱ δὲ ῥυθμοειδεῖς … (p. 33. 4 sq.) ἄρρυθμοι δὲ οἱ παντελῶς ἄτακτοι καὶ ἀλόγως συνειρόμενοι.

Arist. Qvint. *de mus.* II 15 (p. 83. 25 sqq. Winnington-Ingram) ἔν γε μὴν ταῖς πορείαις τοὺς μὲν εὐμήκη τε καὶ ἴσα κατὰ τὸν σπονδεῖον βαίνοντας κοσμίους τε τὸ ἦθος καὶ ἀνδρείους ἄν τις εὕροι, τοὺς δ᾽ εὐμήκη μέν, ἄνισα δὲ κατὰ τοὺς τροχαίους ἢ παίωνας θερμοτέρους τοῦ δέοντος, τοὺς δὲ ἴσα <μέν>, μικρὰ δὲ λίαν κατὰ τὸν πυρρίχιον ταπεινοὺς καὶ ἀγεννεῖς, τοὺς δὲ βραχὺ καὶ ἄνισον καὶ ἐγγὺς ἀλογίας ῥυθμῶν παντάπασιν ἐκλελυμένους· τούς γε μὴν τούτοις ἅπασιν ἀτάκτως χρωμένους οὐδὲ τὴν διάνοιαν καθεστῶτας, παραφόρους δὲ κατανοήσεις. [*C.P.*]